On the Composition of Drugs by Places: Book 10 by Galen of Pergamon

13.321 *ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΤΟΠΟΥΣ ΒΙΒΛΙΟΝ Κ.*

Ὅτι μὲν νεφριτικὰς ἀντιδότους τε καὶ δυνάμεις ὀνομάζουσιν ὅσαι νεφροὺς πάσχοντας ὠφελοῦσιν ἐξ αὐτῆς τῆς προσηγορίας δῆλον. ἔστι δὲ αὐτῶν ἡ διαφορὰ ἡ γενικωτάτη διττή. τινὲς μὲν γὰρ τοὺς λιθιῶντας νεφροὺς ὀνίνασιν, ἔνιαι δὲ τοὺς φλεγμονώδεις τε καὶ ἑλκώδεις, αἵπερ καὶ πρὸς τὴν κύστιν ὁμοίως πάσχουσαν ἁρμόττουσιν. ἐναντιώταται δέ εἰσιν
13.322 ἀλλήλαις αἱ δυνάμεις τῶν εἰρημένων φαρμάκων. πρὸς μὲν γὰρ τὰς φλεγμονώδεις καὶ ἑλκώδεις διαθέσεις συντιθέμεναι παρηγορικῶν δέονται φαρμάκων. ἐπεὶ δ’ ἀδύνατόν ἐστι ταῦτα διὰ ταχέων ἀφικέσθαι πρὸς τὰ κατὰ νεφροὺς χωρία, διὰ ταῦτα αὐτοῖς μίγνυμεν διουρητικὰ φάρμακα· τὰ δὲ τοῖς λιθιῶσιν ἀρήγοντα μιᾶς δεῖται δυνάμεως τῆς τέμνειν καὶ διαρρύπτειν πεφυκυίας μετὰ θερμότητος ἐπιφανοῦς. ἔστι δὲ τὰ τοιαῦτα σχεδὸν ἅπαντα πικρά. καθάπερ οὖν ἐπὶ τῶν ἄλλων, οὕτω καὶ ἐπὶ τούτων τὴν πεπειραμένην ὕλην ἐφεξῆς γράψω, τὴν ἀρχὴν ἀπὸ τῶν πρὸς τὰς ἑλκώδεις τε καὶ φλεγμονώδεις διαθέσεις ἁρμοττόντων ποιησάμενος, ἀφ’ ὧν καὶ οἱ περὶ τὸν Ἀνδρόμαχόν τε καὶ Ἀσκληπιάδην ἀρξάμενοι μετέβησαν ἐφεξῆς ἐπὶ τὰς λίθους θρυπτούσας.

Αἱ ὑπ’ Ἀνδρομάχου γεγραμμέναι νεφριτικαὶ πρὸς τὰς ἐν νεφροῖς καὶ κύστει διαθέσεις. Πότημα. ♃ λινοσπέρματος, μήκωνος λευκοῦ σπέρματος, σικύου σπέρματος, τραγακάνθης ἀνὰ ʃ β′. ἀμύλου ʃ δ′. δι’ ὕδατος τροχίσκους ἀναλάμβανε, δίδου πρὸς κύστιν ἡλκωμένην καὶ δυσουρίαν.
13.323 ἄλλο. ♃ στροβίλους λ′. ἀμύγδαλα κ′. φοίνικας ιε′. τραγακάνθης ʃ δ′. χυλοῦ γλυκυρρίζης ʃ β′. κρόκου ὀβολὸν α′. σμύρνης ὀβολὸν α′. διεὶς οἴνῳ προτρόπῳ, ὡς ἐπιτηδείῳ χρῶ. ἄλλο πρὸς τὰς ἐν κύστει διαθέσεις καὶ ἑλκώσεις. τροχίσκος ᾧ χρῶμαι. ♃ σικύου σπέρματος ʃ ιβ′. ὑοσκυάμου σπέρματος ʃ στ′. κωνείου σπέρματος, ὀπίου, μαράθρου, κρόκου ἀνὰ ʃ γ′. κασσίας ʃ δ′. ἀμύγδαλα ι′. κάρυα Ποντικὰ ι′. σελίνου σπέρματος ʃ στ′. μαλάχης ἀγρίας σπέρματος ʃ γ′. γλυκεῖ Κρητικῷ ἀναλαβὼν δίδου

τριώβολον ἀπυρέτοις ἐν γλυκεῖ, ἔν τισι κωνείου ⸂στ΄. ἄλλο πρὸς τὰ αὐτὰ καὶ ἀλγήματα κύστεως. ⸃ κρόκου, βήσασα σπέρματος, μαλάχης ἀγρίας σπέρματος ἀνὰ ⸂στ΄. ὑοσκυάμου σπέρματος ⸂ιβ΄. ὀπίου ⸂στ΄. σελίνου σπέρματος ⸂ιβ΄. κάρυα Ποντικὰ η΄. ἀμύγδαλα κ΄. σικύου σπέρματος ⸂ιβ΄. μέλιτος Ἀττικοῦ τὸ ἱκανὸν, ἡ δόσις καρύου Ποντικοῦ τὸ μέγεθος μετ' οἰνομέλιτος κυάθων τριῶν. ἄλλο, πρὸς τοὺς αἱμορροοῦντας ἀπὸ κύστεως. ⸃ σχιστῆς ⸂α΄. τραγακάνθης ⸂β΄. κόμμεως ὀβολὸν α΄. ἐν
13.324 γλυκεῖ δίδου ὀβολοὺς β΄. ποτὲ δὲ ὀβολὸν α΄. πρὸς τὰς ἐν κύστει διαθέσεις οὐρητικὰ ἀπὸ Μακεδόνος καὶ πρὸς ἡπατικοὺς, ὑδρωπικοὺς, ἰκτερικοὺς, νεφριτικοὺς καὶ πάντα τὰ περὶ τὴν κύστιν συμπτώματα, θρύπτει λίθους. ⸃ ἀκόρου ⸂ν΄. φοῦ ⸂κε΄. νάρδου Κελτικῆς ⸂κδ΄. δαύκου σπέρματος ⸂κβ΄. κινναμώμου ⸂λβ΄. μήου ⸂ιστ΄. ἀσάρον ⸂κδ΄. πετροσελίνου ⸂ιστ΄. ὀποβαλσάμου ⸂ιστ΄. καὶ τοῦ καρποῦ τὸ αὐτὸ, κρόκου ⸂κδ΄. σμύρνης ⸂κ΄. γλυκείας ῥίζης ⸂ιστ΄. νάρδου Ἰνδικῆς ⸂ιστ΄. κασσίας ⸂ιβ΄. ἀμώμου ⸂ιστ΄. σταφίδος ⸂η΄. τραγακάνθης ⸂θ΄. τὰ ξηρὰ ἀναλαμβάνων μέλιτι, τὴν τραγάκανθαν οἴνῳ Ἀμιναίῳ βρέχων, δίδου καρύου Ποντικοῦ τὸ μέγεθος, μετ' οἴνου κυάθων τεσσάρων, πυρέττουσιν ἐν μελικράτῳ. ἄλλο πρὸς τὰ ἐν κύστει ἕλκη καὶ φλεγμονάς. ⸃ στροβίλους κ΄. σικύου σπέρματος ἡμέρου κόκκους μ΄. ἀμύλου τριώβολον, λιβανωτοῦ, νάρδου ἀνὰ ⸂α΄. σελίνου σπέρματος κυάθους β΄. ἐν ὕδατος ξε. α΄. ἕψεται νάρδος σέλινον, εἶτα τοῦ ἀφεψήματος μίγνυνται τοῖς προγεγραμμένοις κύαθοι β΄. πρὸς λιθιῶντας, ὡς Βάσσα ἡ Μαρίου ἐθεραπεύθη, ὥστε θρύπτειν καὶ αὖθις μὴ
13.325 συνίστασθαι. ⸃ κασσίας ⸂β΄. σελίνου σπέρματος ⸂γ΄. σμύρνης μιναίας ⸂δ΄. πεπέρεως λευκοῦ ⸂β΄. λιβάνου ⸂γ΄. λίθου Συριακοῦ ἄρρενος ⸂α΄ ἢ τοῦ θήλεος ⸂α΄. σταφυλίνου σπέρματος, ἀνίσου ἀνὰ ⸂β΄. στύρακος ⸂γ΄. ἴρεως Ἰλλυρικῆς ⸂γ΄. μήκωνος λευκῆς σπέρματος ⸂β΄. ναρδοστάχυος ἴσον, ἀμυγδάλων πικρῶν καθαρῶν, ἀσάρου ἀνὰ ⸂γ΄. σμυρνίου σπέρματος, κυπέρου ἀνὰ ⸂β΄. μέλιτος Ἀττικοῦ τὸ ἱκανὸν, δίδου καθ' ἡμέραν· πρὸς λιθιῶντας, θραύουσα καὶ κατὰ μικρὸν ἐκκρίνουσα, μέχρις οὗ καθαρίσῃ τὴν κύστιν, εἶτα διαυγὲς ἀπουρήσῃ· καὶ τὸ μέγιστον, ἀποθεραπεύει, ὡς μηκέτι γεννᾶσθαι. ⸃ δαύκου σπέρματος, ἀνίσου, σικύου σπέρματος, πετροσελίνου, σμύρνης ἀνὰ ⸂στ΄. κασσίας δαφνίτιδος, κινναμώμου, νάρδου Κελτικῆς ἀνὰ ⸂δ΄. λεῖα ποιήσας ἀναλάμβανε σὺν

ὕδατι, ἡλίκα θέρμος μικρὸς καὶ δίδου νήστεσι καθ’ ἡμέραν, ἐπὶ ἡμέρας λ′. σὺν ὕδατος κυάθοις γ′. τοῦτο, ὡς παρελάβομεν, μετά τινος θρησκείας
13.326 σκευάζεται. ξυλίνῳ γὰρ ὅλμῳ καὶ ὑπέρῳ κόπτεται, καὶ τὸν κόπτοντα δεῖ μήτε δακτυλίδιον ἔχειν σιδηροῦν μήτε ὑποδήματα ἡλοκοπημένα. τοῦτο ἀπὸ Ῥουστίκου ὡς μυστήριον ἐλάβομεν. πρὸς νεφριτικοὺς καὶ ῥεῦμα πᾶν, ὡς Ἀπολλώνιος. ⁊ μανδραγόρου φλοιοῦ πεφωγμένου ‹ α′ ′′. ὑοσκυάμου σπέρματος πεφωγμένου, μήκωνος μελαίνης σπέρματος πεφωγμένου ἀνὰ ‹ α′ ′′. ἀνίσου πεφωγμένου ‹ α′ ′′. τραγακάνθου, φοινικοβαλάνων τῆς σαρκὸς ἀνὰ ‹ γ′. μετὰ μέλιτος δίδου.

Αἱ ὑπ’ Ἀσκληπιάδου γεγραμμέναι νεφριτικαί. Ἀντωνίου Μούσα. ⁊ πιτυΐδων κεκομμένων καὶ κεκοσκινισμένων ‹ κ′. μήκωνος μελαίνης σπέρματος, τραγακάνθης ἀνὰ ‹ β′. νάρδου Κελτικῆς, κρόκου, ἀνίσου ἐπτισμένου, δαύκου Κρητικοῦ τῆς ῥίζης, γλυκείας ῥίζης ἀνὰ ‹ α′. κόστου τριώβολον, σκεύαζε διὰ προτρόπου καὶ ἀνελοῦ εἰς πυξίδα καὶ δίδου καρύου Ποντικοῦ τὸ μέγεθος καὶ προτρόπου κύαθον α′. καὶ ὕδατος θερμοῦ κυάθους β′. ἄλλο. ⁊ σικύου ἡμέρου σπέρματος πεφωγμένου ‹ γ′. μαλάχης καρποῦ ‹ ε′. στροβίλου πεφωγμένου ‹ στ′. σελίνου σπέρματος ‹
13.327 ζ′. λινοσπέρματος ‹ α′. ἀμυγδάλων πικρῶν κεκαθαρμένων ‹ θ′. ἀναλάμβανε γλυκεῖ καὶ δίδου καθὰ προείρηται. ἄλλο νεφριτικοῖς Ὀνησιδήμου. ⁊ ἀμυγδάλων πικρῶν ‹ ιστ′. δαύκου Κρητικοῦ σπέρματος, μαλάχης καρποῦ ἀνὰ ‹ στ′. ἴρεως ἀγρίας ῥίζης ‹ η′. κέρατος ἐλαφείου κεκαυμένου, τραγακάνθης, νάρδου Κελτικῆς, σικύου ἡμέρου σπέρματος ἀνὰ ‹ στ′. γλυκέος, ὅσον ἐξαρκεῖ, σκεύαζε καθὰ προείρηται. ἄλλο φάρμακον ἐπιτετευγμένον. τούτῳ ἴσμεν πολλοὺς χρησαμένους νεφριτικοὺς καὶ τῆς ὅλης ἀπαλλαγέντας διαθέσεως. δεῖ δὲ ἐπὶ πολλὰς ἡμέρας ἐπιμένειν τῷ φαρμάκῳ, δίδοται καὶ λιθιῶσι καὶ κωλικοὺς θεραπεύει καὶ τὰς περὶ κύστιν διαθέσεις, ἔχει δὲ οὕτω. ⁊ καρύων Ποντικῶν κεκαθαρμένων, ἀμυγδάλων πικρῶν κεκαθαρμένων, σικύου σπέρματος κεκαθαρμένου ἀνὰ ‹ γ′. κωνείου σπέρματος, κρόκου, μαλάχης σπέρματος, ὀπίου ἀνὰ ‹ στ′. ὑοσκυάμου λευκοῦ σπέρματος, σελίνου σπέρματος ἀνὰ ‹ ιβ′. ἀναλάμβανε τροχίσκους μέλιτι ἀναπλάττων καὶ δίδου τριώβολον καὶ μελικράτου θερμοῦ κυάθους γ′. ἐν ἄλλῳ καὶ βήσασα
13.328 ‹ στ′. ἄλλο πρὸς τὰς ἐν νεφροῖς πωρώδεις ὑποστάσεις, Ὀνησιδήμου.

σύμφυτον καὶ σίον καὶ ἀρτεμόνιον ἕψε μετ᾽ οἴνου καὶ τὸ ὑγρὸν ἐκθλίψας δίδου κυάθους δύο καὶ ὕδατος τὸ ἴσον. ἄλλο. μαλάχης ἀγρίας τὴν ῥίζαν καὶ πηγάνου ἀγρίου ῥίζαν καὶ ὀρεοσελίνου ῥίζαν, ἕψε μετ᾽ οἴνου καὶ καθὰ προείρηται δίδου. ἄλλο πρὸς λιθιῶντας καταπαστόν. ⁊ βαλσάμου καρποῦ μέρη β′. λίθου τοῦ ἐν σπόγγοις εὑρισκομένου τὸ ἴσον, γλήχωνος ξηρᾶς, μαλάχης ἀγρίας σπέρματος, ὠκίμου ξηροῦ ἑκάστου τὸ ἴσον, κόψας καὶ σήσας, ἀπόθου καὶ δίδου κοχλιάριον καὶ οἴνου κεκραμένου κυάθους δύο. ἄλλο. στρουθίου ῥίζης μέρος ἓν, ἴριδος ἀγρίας ξηρᾶς ἴσον, ὀξαλίδος ξηρᾶς τὸ ἴσον, ἀνεμώνης ἐχούσης τὸ ἄνθος μήλινον ξηρᾶς τοσόνδε, κόψας καὶ σήσας καθὰ προείρηται χρῶ. καταπότια Ἡρακλείδου Ταραντίνου, διαλύει τοὺς ἐν κύστει πώρους, ἀγαθὰ δὲ καὶ πρὸς στραγγουρίαν. ⁊ πεπέρεως, χαλβάνης ἀνὰ ᾱ. ὀποῦ Λιβυκοῦ β̄. σμύρνης δ̄. προτρόπου τὸ ἱκανὸν, ποίει καταπότια ἐρεβίνθου τὸ
13.329 μέγεθος καὶ δίδου τρία καὶ γλυκέος ἐπιπιεῖν κυάθους δύο. ἄλλο. ⁊ ἀμμωνιακοῦ θυμιάματος, πεπέρεως, ἀφρονίτρου ἀνὰ ᾱ. βαλσάμου καρποῦ β̄. σμύρνης δ̄. ἀναλάμβανε προτρόπῳ καὶ ποίει καταπότια ἐρεβίνθου τὸ μέγεθος καὶ δίδου τρία καὶ οἴνου γλυκέος ἐπιρροφείτω τεταρτημόριον, δίδου δὲ ἐπὶ ἡμέρας μη′. προλούων. τροχίσκος διουρητικὸς, κατάγει λίθους καὶ πωρώδεις ὑποστάσεις. ⁊ ἀσάρου, πετροσελίνου, φοῦ, μήου ἀνὰ δ̄. ἀκόρου, ἀνίσου σπέρματος, δαύκου σπέρματος, ὀρεοσελίνου, καρποῦ βαλσάμου, τραγακάνθης ἀνὰ β̄. τὴν τραγάκανθαν γλυκεῖ διαλύσας, ἐπίβαλλε τοῖς ξηροῖς καὶ ἀνάπλαττε τροχίσκους καὶ δίδου τριώβολον μετὰ γλυκέος κεκραμένου κυάθων β′. ἄλλο Χαρικλέους, κατάγει ψαμμώδεις ὑποστάσεις, ποιεῖ πρὸς τὰς μεθ᾽ ἑλκώσεως διαθέσεις. ⁊ σελίνου σπέρματος, πετροσελίνου σπέρματος, ἀνίσου ἀνὰ ιστ̄. σχοίνου ἄνθους, κρόκου, τραγακάνθης ἀνὰ στ̄. δαύκου Κρητικοῦ σπέρματος, πεπέρεως λευκοῦ ἀνὰ δ̄. σκεύαζε καθὰ προείρηται καὶ δίδου ᾱ. μετὰ προτρόπου κεκραμένου κυάθων γ′.
13.330 Ἀντίδοτος ἡ διὰ τῶν λίθων, ὡς Μιθριδάτης, ποιεῖ νεφριτικοῖς καὶ πρὸς τὰς περὶ κύστιν διαθέσεις θρύπτει λίθους καὶ πώρους διαλύει. σμυρνίου σπέρματος, κυπέρου, ναρδοστάχυος, μήκωνος λευκῆς σπέρματος, κινναμώμου, κασσίας σύριγγος, πεπέρεως λευκοῦ σταφυλίνου σπέρματος ἀνὰ γο α . λιβάνου ἀτμήτου, σελίνου σπέρματος, κρόκου, στύρακος,

ἴρεως, ἀμυγδάλων πικρῶν, ἀκόρου, ἑκάστου γο α . λίθου Συριακοῦ θήλεος ἢ ἄρρενος γο . σμύρνης μινναίας γο β . μέλιτι φύρα. ἡ δόσις καρύου Ποντικοῦ τὸ μέγεθος. ἄλλη ἡ τοῦ Βιεννίτου, φάρμακον ἐπιτετευγμένον, ἀνώδυνον, χρήσιμον καὶ νεφριτικοῖς καὶ πρὸς τὰς περὶ κύστιν ἑλκώσεις καὶ λίθους θρύπτει καὶ πηλὸν ἀπουρεῖν ποιεῖ. ἴρεως δ . μήου, σεσέλεως, χαμαίδρυος, ὑπερικοῦ, κνεώρου, κάγχρυος, ἑκάστου τοσόνδε, ἀμώμου η . κινναμώμου ιβ . λιβανωτίδος ὀρεινῆς, νάρδου Ἰνδικῆς, κρόκου Κιλικίου, πετροσελίνου, πολίου, πηγάνου ἀγρίου σπέρματος, δικτάμνου Κρητικοῦ, ἑκάστου τὸ ἴσον, γλυκυρρίζης, λίθου Συριακοῦ ἄρρενος ἀνὰ ιστ . θλάσπεως κδ . ἄγνου καρποῦ, σμύρνης,
13.331 σφονδύλου, ἑκάστου τοσόνδε, καρδαμώμου < μη΄. ἀναλάμβανε μέλιτι ἑφθῷ καὶ δίδου καρύου Ποντικοῦ τὸ μέγεθος καὶ οἰνομέλιτος κεκραμένου κυάθους δ΄.

Τὰ ὑπ᾽ Ἀρχιγένους γεγραμμένα πρὸς τοὺς νεφριτικούς, ἐν τῷ δευτέρῳ τῶν κατὰ γένος φαρμάκων. Τοὺς δὲ νεφριτικοὺς διαιτῶ προσηκόντως, ἐπιθεὶς μὲν κηρωτὴν ῥοδίνην μετὰ στύρακος, μαλαγματῶδες ποιήσας. σφόδρα ἔφη ἀξιολόγως ὁ παρὰ τῷ Φρίκῃ Λινοφόβῳ ἀντιπαθῶς βοηθεῖν εἰς ἀνασκευὴν, πρωτοτόμου καυλοῦ ἀφεψήματος κυ. β′. νήστει διδομένους ἐπὶ ἡμέρας θ′. ἐπίπασσε δὲ ἅλας ὀλίγους καὶ μᾶλλον ὀνίνησιν. ἄλλο. πότιζε ῥόδων φύλλων, ἀμυγδάλων λελεπισμένων, λιβάνου ἴσα, μήκωνος κωδυῶν τὸ διπλοῦν, προτρόπῳ ἀναλάμβανε καὶ εἰς κεραμεοῦν ἀγγεῖον ἀπόθου μὴ ἐν νοτίδι, δίδου δύο ὀβολοὺς μετὰ προτρόπου. ἔνιοι ἀντὶ τῶν ἀμυγδάλων ἄμυλον βάλλουσι, καὶ ἀντὶ προτρόπου ὕδατι μὲν ἀναλαμβάνουσι, ποτίζουσι δὲ μετὰ προτρόπου.

Περὶ ἰσχιάδος καὶ ποδάγρας καὶ ἀρθρίτιδος. Ἐκ τοῦ γένους τῆς ἀρθρίτιδος
13.332 ἥ τε ἰσχιάς ἐστι καὶ ποδάγρα. ὅπερ γὰρ ἐν ἅπασι τοῖς ἄρθροις ἡ ἀρθρῖτις ἐστὶ, τοῦτ᾽ ἐφ᾽ ἑνὸς μὲν τοῦ κατ᾽ ἰσχίον ἰσχιάδα καλοῦσιν, ἐπὶ ποδὸς δὲ ποδάγραν. ἄρχεται μὲν οὖν ὡς τὰ πολλὰ καὶ ἡ τῆς ποδάγρας γένεσις ἐξ ἑνὸς ἄρθρου, προέρχεται δὲ ἐπὶ πάντα χρονίζουσα. κοινὸν δὲ τῶν τριῶν παθῶν ἐστι πλεονεξία χυμοῦ, καταλαμβάνουσα τὴν πάσχουσαν διάρθρωσιν, ἧς πληρωθείσης εἰς πάντα συμβαίνει τείνεσθαι τοῖς περικειμένοις νευρώδεσι μορίοις, κἀκ τούτων γίγνεσθαι τὴν ὀδύνην.

ἐνίοτε μὲν οὖν ὁ κατασκήπτων χυμὸς αἱματικός ἐστιν, ὡς τὸ πολὺ δὲ φλεγματώδης ἢ μικτὸς ἐκ φλεγματώδους τε καὶ χολώδους ἢ καὶ σὺν αὐτοῖς αἵματος. ἀκριβέστερον δέ τις ἑρμηνεύων οὐ φλεγματώδη χυμὸν, ἀλλὰ τὸν ἰδίως ὀνομαζόμενον ὠμὸν, ἐπικρατεῖν ὡς τὸ πολὺ φαίη κατὰ τὰς ἀρθρίτιδας. ἔστι δὲ παχὺς οὗτος, ὁμοίως τῷ πύῳ τῷ παχεῖ. χρονίζων δὲ ἐν τοῖς ἄρθροις οὐ μόνον παχύτερος, ἀλλὰ καὶ γλισχρότερος γίνεται. τῶν τε οὖν ὀνομαζομένων πώρων ἡ γένεσις ἐκ τούτων, κἀπειδὰν
13.333 γένωνται, μηκέτι ἐλπίσῃς εἰς τὴν ἀρχαίαν κατάστασιν ἀκριβῶς ἐπανελθεῖν δύνασθαι τὸ ἄρθρον. εὐφώρατοι δὲ αἱ διαφοραὶ τῶν λυπούντων χυμῶν εἰσι, ταῖς χροιαῖς καὶ τοῖς συμπτώμασι καὶ τῇ πείρᾳ τῶν προσφερομένων φαρμάκων. ἡ μὲν οὖν ἀπὸ τῆς χρόας διάθεσίς τε καὶ διάγνωσις αὐτῶν ἅπασι γνώριμος, ἡ δὲ ἀπὸ τῶν συμπτωμάτων εἰ καὶ μὴ πᾶσι μηδ' ἐκ προχείρου σαφὴς, ἀλλ' οὐδὲ χαλεπὴ γνωσθῆναι. τὸ γὰρ χολῶδες αἷμα θερμασίας πολλῆς αἴσθησιν ἐργάζεται τῷ κάμνοντι παροξύνεταί τε τῶν θερμαινόντων ἐπιτιθεμένων, ὥσπερ αὖ πάλιν ὑπὸ ψυχόντων ἀνίεται. πρὸς δὲ τὴν διάγνωσιν τοῦ λυποῦντος χυμοῦ συντελέσει σοι καὶ ἡ προγεγενημένη δίαιτα, διὰ γυμνασίων ἢ ἀργίας γεγονυῖα καὶ λουτρῶν ἐπὶ τροφαῖς ἢ πρὸ τροφῶν, ὥσπερ γε καὶ τούτων τῶν γυμνασίων καὶ ἐδεσμάτων ἥ τε ποσότης καὶ ἡ ποιότης, ἥ θ' ὥρα τοῦ ἔτους καὶ ἡ κατάστασις τοῦ χωρίου, ὥσπερ γε καὶ ἡ ἡλικία καὶ ἡ ἕξις τοῦ σώματος, ὧν ἁπάντων ἐν πολλοῖς πολλάκις τὰς δυνάμεις διῆλθον. ἀρχὴ δὲ ἔστω σοι τῆς θεραπείας ἡ τοῦ λυπεῖν εὑρεθέντος χυμοῦ κένωσις. εἰ μὲν πληθωρικὸν εἴη τὸ σῶμα, φλεβοτομίας πρῶτον ἁπάντων
13.334 παραλαμβανομένης, εἶτα καθάρσεως ἐφ' ᾗ ἡ τῶν ῥηθησομένων φαρμάκων ἐν καιρῷ καὶ τάξει προσήκουσα χρῆσις, ἐπὶ μὲν τῶν χειρῶν καὶ ποδῶν ἀποκρουστικοῖς τοῦ ῥεύματος χρωμένων ἡμῶν φαρμάκοις, ἐπὶ δὲ τῆς κατ' ἰσχίον διαρθρώσεως φυλαττομένων τοῦτο δρᾷν. ἐν βάθει γὰρ οὔσης αὐτῆς, συλλαμβάνεται τὸ ἐκ τῶν περιεχόντων ἀγγείων αἷμα καὶ μυῶν πρὸς ἐκείνην. παρηγορικῶν οὖν ἐν ἀρχῇ φαρμάκων χρεία, ἐπὶ τῆς κατ' ἰσχίον ὀδύνης οὔτε ψυχόντων ἱκανῶς οὔτε θερμαινόντων ἰσχυρῶς, ὁποίων ὕστερον δεῖται. παροξύνεται γὰρ ἐπ' αὐτῶν τὰ ῥεύματα, τῆς θερμασίας ἑλκούσης αὐτὰ μᾶλλον ἢ κωλυούσης. ἐπεὶ δὲ οὐ πρόκειται κατὰ τὴν ἐνεστῶσαν ἡμῖν πραγματείαν οὔτε περὶ καταπλασμάτων οὔτε

περὶ ἐπιβροχῶν τι λέγειν, ἀλλὰ περὶ τῆς μεθόδου τῶν συνθέτων φαρμάκων, ἐπὶ ταύτην ἀφίξομαι μόνην, ἀπὸ τῆς ἰσχιάδος ἀρξάμενος, ὀλιγάκις ὑπὸ πλήθους αἵματος γινομένης καὶ θεραπευομένης γε τάχιστα τῶν κατὰ τὴν ἰγνύαν ἢ κατὰ τὰ σφυρὰ φλεβῶν τεμνομένων. ὥσπερ δὲ
13.335 πολλάκις μόνη ἡ ἐκ τοῦ αἵματος κένωσις αὐτάρκης γίνεται βοήθεια, κατὰ τοὐναντίον ἐπὶ πάσης ἰσχιάδος, ἐξαιρέτως δὲ ἐπὶ τῆς διὰ πλῆθος, ἄν τις πρὸ τοῦ κενωθῆναι τὸ πᾶν σῶμα δριμέσι φαρμάκοις χρήσεται κατὰ τοῦ πεπονθότος μορίου, δυσιατοτάτην ἐργάσεται τὴν διάθεσιν, σφηνουμένου τοῦ πλήθους αὐτόθι δυσλύτως. πρὸς γὰρ τοῖς ἄλλοις καὶ παχύνεται καὶ γλίσχρον γίγνεται τῇ θερμότητι καὶ ξηρότητι τῶν δριμέων φαρμάκων, ὀπτήσει τι παραπλήσιον πάσχον. ὡς οὖν μεγίστην δύναμιν ἐς θεραπείαν ἐχούσης ἐπὶ τοῦ πάθους τῆς τοῦ παντὸς σώματος κενώσεως, ἀπ᾽ αὐτῆς ἀρκτέον, οὐ μόνον ἀπὸ τῶν σκελῶν, ἀλλὰ καὶ ἀπ᾽ ἀγκῶνος ἀφαίρεσιν ποιουμένοις. ὠφελοῦσι δὲ καὶ οἱ ἔμετοι τοὺς ἰσχιαδικοὺς μᾶλλον τῶν διὰ τῆς κάτω γαστρὸς κενώσεων, ἀντισπῶντες τὸν κάτω ῥέποντα χυμόν. ποιητέον δὲ αὐτοὺς ἐν ἀρχῇ μὲν μετὰ τροφῆς, ὕστερον δὲ καὶ διὰ φαρμάκων ἐμετικῶν, ἀρχομένους ἐπὶ τούτων ἀπὸ τῶν μετριωτέρων. ἐφ᾽ ὧν δὲ σφήνωσις ἐγένετο σφοδρὰ καὶ δύσλυτος ὑπὸ τῶν ἀκαίρως χρησαμένων ἰατρῶν φαρμάκοις δριμέσιν, ἡ σικύα βοήθεια μεγίστη καὶ ἡ
13.336 διὰ τῶν καθαρτικῶν γίγνεται κλυσμάτων, ὁποῖός ἐστι καὶ ὁ διὰ τῆς κολοκυνθίδος. ἔχοντες οὖν πρὸ ὀφθαλμῶν ταῦτα τὰ νῦν εἰρημένα, τοῖς γεγραμμένοις φαρμάκοις ὑπὸ τῶν ἔμπροσθεν ἔξετε χρῆσθαι κατὰ μέθοδον· ἄρξομαι δ᾽ ἐν αὐτοῖς ὑπὸ τῶν ὑπ᾽ Ἀνδρομάχου γεγραμμένων ἐν ἐκείνῳ τῷ μέρει τῆς τῶν ἐκτὸς φαρμάκων βίβλου, καθὰ προγράψας μαλάγματα πρὸς τοῖς κυρίοις ὀνομαζομένοις, οὕτω καὶ τὰ ἄλλα γράφει πάντα τὰ καθ᾽ ὁντιναοῦν τρόπον ὠφελοῦντα τὰς χρονιζούσας διαθέσεις, ἐν αἷς ἐστι καὶ ἡ τῶν ἰσχιαδικῶν ὀνομαζομένων.

Αἱ ὑπ᾽ Ἀνδρομάχου γεγραμμέναι δυνάμεις αὐτοῖς ὀνόμασιν, ἐν τοῖς τῶν ἐκτὸς πρὸς ἰσχιαδικούς. ⳨ Πηγάνου ἀγρίου σπέρματος ʃ δ′. σιλφίου, δαφνίδων ἀνὰ ʃ δ′. ἀφρονίτρου, ἀβροτόνου, κολοκυνθίδος, καρδαμώμου, ἄμμεως ἀνὰ ʃ δ′. πηγάνου χλωροῦ μνᾶς ὄγδοον, τινὲς τούτων ἀνὰ ʃ κ′. πίσσης τερμινθίνης, ῥητίνης, κηροῦ τὸ ἴσον καὶ στέατος ταυρείου ἴσον,
13.337 χαλκάνης ʃ στ′. ἀμμωνιακοῦ θυμιάματος ʃ στ′. ὀποπάνακος ʃ δ′. θείου

ἀπύρου ‹ δ′. ὅτι τοῦτο φάρμακον ἰσχυρῶς ἐστι θερμαντικὸν, εἴ τι μεμνήμεθα τῶν ἔμπροσθεν γεγραμμένων πολλάκις ἐν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως, οὐδὲν ἔτι δεησώμεθα λόγου καινοτέρου. σφοδρότατον γὰρ καὶ θερμαντικώτατόν ἐστι τὸ φάρμακον ἀγρίου πηγάνου σπέρμα, σὺν τούτῳ δὲ σίλφιον καὶ δαφνίδες, εἶτα τὸ ἀφρόνιτρον, μετὰ ταῦτα καὶ ἀβρότονον, ἐφ᾽ οἷς ἡ κολοκυνθὶς καὶ τὸ καρδάμωμον καὶ τὸ καλούμενον ἄμμι καὶ τὸ χλωρὸν δὲ πήγανον, ἧττον μὲν τούτων, οὐ μὴν εὐκαταφρόνητον ἔχει τὴν θερμασίαν, ὥσπερ οὐδὲ τὸ θεῖον ἄπυρον. ἐκ βάθους οὖν ἕλκειν πάντα ταῦτα δύναται, τοὺς λυποῦντας τὸ κατ᾽ ἰσχίον ἄρθρον χυμούς. ὅπως δὲ ἔμπλαστρος ἐξ αὐτῶν γένηται, πίττης τε τερμινθίνης καὶ ῥητίνης καὶ κηροῦ καὶ στέατος ἔμιξε, συνθεὶς τὸ φάρμακον. ἀμμωνιακὸν δὲ θυμίαμα καὶ χαλβάνη πρὸς τῷ συντελεῖν εἰς ἐμπλάστρου σύνθεσιν, ἔτι καὶ μαλακτικὸν ἔχει τι καὶ παρηγορικόν. ὁ δὲ ὀποπάναξ ἐκ ταὐτοῦ μὲν αὐτοῖς ἐστι γένους,
13.338 ἰσχυροτέραν δὲ δύναμιν ἔχει. ἑτέραν δὲ δύναμιν πρὸς αὐτὸ τὸ πάθος ὁ Ἀνδρόμαχος οὕτως ἔγραψεν. ἄλλο μάλαγμα πρὸς ἰσχιαδικοὺς καὶ ἄλλα πολλά. ℔ κηροῦ ‹ οβ′. τερμινθίνης ‹ μη′. ἀμμωνιακοῦ θυμιάματος ‹ λγ′. προπόλεως ‹ μγ′. χαλβάνης ‹ λστ′. βδελλίου ‹ κε′. κρόκου ‹ ε′. ὀποπάνακος ‹ ιβ′. νίτρου ἀφροῦ ‹ λ′. μύρῳ ἰρίνῳ κόπτων παράπτου. ἄλλο Πρωτᾶ Πηλουσιώτου πρὸς ἰσχιαδικοὺς καὶ κεφαλαλγικοὺς καὶ πρὸς πάντα τὰ χρόνια ἀλγήματα δυνάμενον ἁρμόττειν τόδε. ℔ κηροῦ ‹ κδ′. ἀμμωνιακοῦ θυμιάματος ‹ ζ′. τερμινθίνης ‹ ζ′. θαψίας χυλοῦ ‹ η′. ἐλαίου κύαθον ἕνα. καὶ ἄλλην δὲ δύναμιν ἐν τοῖς μαλάγμασιν ὁ Ἀνδρόμαχος ἔγραψεν ὡδί πως. πρὸς ἰσχιαδικοὺς παρὰ Ἥρα Καππάδοκος. ℔ πίσσης ὑγρᾶς κο. γ′ ἢ β′ ′′. κηροῦ λίτραν α′. πιτυΐνης λίτραν α′. θείου ἀπύρου λίτραν α′. νίτρου λίτραν μίαν ′′. σταφίδος ἀγρίας ξε. α′. πυρέθρου λίτρας ′′. οἴνου τρυγὸς κεκαυμένης λίτρας β′. καρδαμώμου ξε. α′. χαλβάνης λίτρας ′′. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. τοῦτο τὸ φάρμακον καὶ αὐτὸς ὁ Ἥρας ἐν τῷ ἰδίῳ βιβλίῳ τῆς τελευτῆς πλησίον ἔγραψεν. οὐ
13.339 πρόσκειται δὲ ἐν αὐτῷ ἐπὶ τῆς πίσσης τὸ β′. ἢ . ἀλλ᾽ ἁπλῶς γέγραπται κο. γ . προέγραψε δὲ αὐτῆς κατὰ λέξιν οὕτως. κηρωτὴ πρὸς ἰσχιαδικοὺς, ἀνασκευάζουσα καὶ τὰς λίαν κεχρονισμένας διαθέσεις, ταύτῃ ἐχρησάμην πρὸς ἀνασκευὴν ἐπὶ Φροντίνου. πίσσης ὑγρᾶς

κοτύλας γ . κηροῦ λίτραν α . πιτυΐνης λίτραν α . θείου ἀπύρου λίτραν α . νίτρου λίτραν α . σταφίδος ἀγρίας ξε. α . πυρέθρου λίτρας . οἴνου τρυγὸς κεκαυμένης λίτρας β . καρδαμώμου ξε. α . χαλβάνης λίτρας . τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. ἔγραψε δὲ καὶ ἄλλας ἰσχιαδικὰς ὁ Ἥρας δύο δυνάμεις, ὧν ἡ μὲν ἑτέρα τόνδε τὸν τρόπον ἔχει. πρὸς ἰσχιαδικοὺς παρηγορικὴ λίαν. πίσσης μέρη δύο, θείου ἀπύρου μέρος ἓν, λεῖα ἀμφότερα μίξας, σύμπλασσε τὸν ἀλγοῦντα τόπον, προλούσας δὲ τὸν πάσχοντα χρῶ ἵνα κολληθῇ τὸ φάρμακον, καὶ ἄνωθεν ἐπίρριπτε χάρτην καὶ ἔα μέχρις ἀφ᾽ ἑαυτοῦ ἀποστῇ, ἐνδέχεται δὲ λούεσθαι ἔχοντα τὴν χάρτην. ἔν τισι τῶν ἀντιγράφων πίσσης μέρος ἓν, καὶ δυνατόν ἐστι καὶ οὕτως αὐτὸ σκευασθῆναι, γιγνωσκόντων ἡμῶν ὅτι πρακτικώτερόν ἐστι τὸ ἴσα μιγνύναι ἀμφότερα, τὴν πίσσαν καὶ τὸ θεῖον ἄπυρον.

13.340 ἀσθενέστερον δὲ ἐφ᾽ οὗ ἡ πίσσα διπλασία τοῦ θείου βάλλεται. ἡ δὲ λοιπὴ, καὶ ταύτῃ τῶν ἰσχιαδικῶν δυνάμεων, οὕτως ὑπὸ τοῦ Ἥρα γέγραπται.

Ἄλλη ἰσχιαδική. ταύτῃ ἐχρησάμην ἐπὶ Φροντίνου, εὐθὺς ἐπὶ τῶν παροξυσμῶν. ℈ Κηροῦ ‹ ρ′. ἰξοῦ δρυΐνου ‹ ιστ′. σμύρνης ‹ στ′. τερμινθίνης ‹ κε′. χαλβάνης ‹ στ′. ἴρεως Ἰλλυρικῆς ‹ στ′. κεδρίας κοτύλης τὸ ἥμισυ, κυπρίνου, κοτύλης ′′. τὸν κηρὸν καὶ τὴν κεδρίαν μετὰ τοῦ κυπρίνου τῆξον, εἶτα τὴν ῥητίνην καὶ τὴν χαλβάνην. ὅταν δὲ μέλλῃς αἴρειν, ἐπίπασσε τὴν ἴριν καὶ τὸν ἰξόν. ᾖρμένης δὲ τῆς λοπάδος, ἔστω λελειωμένη ἡ σμύρνα, εἶτα τὰ τηκτὰ κατάχει καὶ μίξας χρῶ. ἔνιοι καὶ νίτρου προσέβαλλον ‹ ε′.

Τὰ ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένα ἐν τῷ τετάρτῳ τῶν ἐκτὸς, ἃ Μαρκέλλας ἐπιγράφει. Ὀνομάζει μὲν καὶ οὗτος ἅπαντα τὰ τοιαῦτα μαλάγματα. προστίθησι δὲ τοῖς μὲν ὅτι πρὸς ἰσχιάδα, τοῖς δὲ ὅτι πρὸς σπλῆνα, τοῖς δὲ πρὸς πλευρὰν ἢ ἄλλο τι μέρος. ἔνια δὲ καὶ πολύχρηστά φησιν εἶναι,

13.341 καθάπερ καὶ τόδε γεγραμμένον ὑπ᾽ αὐτοῦ κατὰ λέξιν οὕτως. μάλαγμα Ἀντιοχίδος, σπληνικοῖς, ὑδρωπικοῖς, ἰσχιαδικοῖς, ἀρθριτικοῖς, ἐσκευάσθη Φαβίλλῃ Λιβυκῇ. ℈ κηροῦ λίτρας τρεῖς, δρυΐνου ἰξοῦ λίτρας γ′. ῥητίνης τερμινθίνης λίτρας γ′. μυροβαλάγου πιέσματος λίτραν α′. νίτρου ἀφροῦ λίτραν α′. λίθου Ἀσίου τοῦ ἄνθους λίτραν α′. ἀμμωνιακοῦ θυμιάματος λίτραν α′. ἐλαίου κυπρίνου λίτρας τρεῖς, ὄξους ὡς τὸ ἀμμωνιακὸν

διαλῦσαι. μετὰ τοῦτο γράφει ἐφεξῆς πάλιν οὕτως. ἄλλο Φαβίλλῃ συντεθὲν, σφόδρα γενναῖον πρὸς τὰς αὐτὰς διαθέσεις. ℞ σμύρνης στακτῆς λίτρας β ′. βδέλλης ὄνυχος λίτρας β ′. μυελοῦ ἐλαφείου λίτρας β ′. ἀμμωνιακοῦ θυμιάματος λίτρας β ′. ἴρεως ξηρᾶς λίτρας δύο, ὀποπάνακος λίτραν μίαν, χαλβάνης, στύρακος ἀνὰ λίτραν α ′. μαστίχης λίτραν α ′. λίθου Ἀσίου τοῦ ἄνθους λίτραν α ′. ὀποῦ συκομόρων λίτραν α ′. κάγχρυος λίτραν α ′. πεπέρεως λευκοῦ λίτραν α ′. κηροῦ, τερμινθίνης ἀνὰ λίτρας ε ′. κοπτέον ἐστὶ τὸ φάρμακον καὶ δεῖ κόπτοντα παράπτεσθαι ἰρίνου μύρου τῇ ὑποστάθμῃ, ἕως ἂν εὐαφέστερον γένηται τὸ φάρμακον.

13.342 ἕτερον ἐφεξῆς ἔγραψεν ὁ Ἀσκληπιάδης οὕτως. μάλαγμα ὃ καὶ χρυσίζουσαν καλοῦμεν. ℞ ἀρσενικοῦ χρυσίζοντος, ἀσβέστου ἀνὰ γο β ′. στυπτηρίας ὑγρᾶς γο β ′. στυπτηρίας σχιστῆς γο β ′. τὰ ξηρὰ κόπτομεν καὶ σήθομεν καὶ εἰς θυείαν βάλλοντες, τούτοις ἐπιβάλλομεν ὄξους κυάθους η ′. καὶ λεάναντες ἐπιμελῶς ἀναλαμβάνομεν τοῖς τηκτοῖς. ἔστι δὲ ταῦτα. ℞ κηροῦ, ῥητίνης φρυκτῆς καὶ πιτυΐνης ἀνὰ λίτρας β ′. ἐλαίου κοινοῦ κυάθους η ′. ταῦτα τήξαντες ἐῶμεν ψυγῆναι καὶ ἀναξύσαντες ἐπιβάλλομεν τοῖς λεανθεῖσιν. ἡμεῖς προστεθείκαμεν τῇ τοῦ φαρμάκου σκευασίᾳ σμύρνης γο β ′. καὶ ἕτεροι δὲ προστιθέασι καὶ σανδαράχης γο β ′. ὑφαιροῦντες τὰς δύο γο τῆς ὑγρᾶς στυπτηρίας. ἡμεῖς δὲ ἐμβάλλοντες πάντα τὰ ὑπογεγραμμένα σκευάζομεν, καὶ γίνεται δραστικώτερον. μετὰ τὸ προγεγραμμένον ἕτερον ἔγραψεν οὕτως. τούτῳ ἐχρήσατο Ἀνδρόμαχος, ποιεῖ σπληνικοῖς, ὑδρωπικοῖς καὶ πρὸς τὰς τῶν ὑποχονδρίων διατάσεις, ποιεῖ ἰσχιαδικοῖς, ἀρθριτικοῖς καὶ πρὸς τὰς κεχρονισμένας διαθέσεις. ℞ κηροῦ, πίσσης Βρυτίας ἀνὰ λίτραν α ′. ἀντὶ τῆς πίσσης ῥητίνην φρυκτὴν βάλλομεν, ῥητίνης πιτυΐνης λίτραν α ′.

13.343 ἐλαίου κυάθους η′. ἀρσενικοῦ χρυσίζοντος, στυπτηρίας σχιστῆς, ἀσβέστου ἀνὰ γο β′. σκεύαζε καθὰ προείρηται, ἡμεῖς προσεθήκαμεν τῷ φαρμάκῳ σμύρνης γο β′. ἰξοῦ δρυΐνου γο δ′. μετὰ τὰ προειρημένα διελθὼν ἕτερά τινα πρὸς ὑδρωπικοὺς καὶ σπληνικούς· αὖθις ἔγραψε πολύχρηστον δύναμιν, ἣν καὶ τοῖς ἰσχιαδικοῖς ἁρμόττειν φησὶν ὡδί πως. Ἀνδρέου μάλαγμα. δύναμις θαυμαστὴ πρὸς ἃ βούλει κατατρῆσαι, διαλῦσαι, ἐξισῶσαι ἀνάγει ὀστᾶ ἐφθορότα, σκόλοπας, ἀκίδας. ἀναγέγραπται δὲ καὶ Σεραπίωνι τῷ ἐμπειρικῷ. ποιεῖ καὶ πρὸς

ἰσχιαδικοὺς, χρήσιμόν ἐστι καὶ τοῖς ἐμπυϊκοῖς. ποιεῖ καὶ πρὸς τὰς σκιρρώδεις τῶν σπλάγχνων διαθέσεις. ἔστι δὲ καὶ ἄκοπος ἀγαθὴ παρειμένοις χρονίοις, διεστραμμένοις μέρος τι τοῦ σώματος. ποιεῖ καὶ πρὸς τὰ λιπανθέντα, ὥστε ἀνάγειν τὰ ἀλλότρια καὶ τὸ ἕλκος εἰς οὐλὴν ἄγειν. ℥ κόκκου κνιδίου κεκαθαρμένου, νίτρου ἐρυθροῦ, ἁλὸς ἀμμωνιακοῦ, ἀριστολοχίας Κρητικῆς, σικύου ἀγρίου ῥίζης, τερμινθίνης ἀνὰ ʃ κ΄. πεπέρεως στρογγύλου καὶ μακροῦ, ἀμμωνιακοῦ θυμιάματος,
13.344 τινὲς καὶ τοῦ ἀμώμου καὶ τοῦ ξυλοβαλσάμου ἀνὰ ʃ ι΄. λιβάνου ἄρρενος, σμύρνης, ῥητίνης ξηρᾶς, ἰξοῦ εἰργασμένου ἀνὰ ʃ ι΄. συκαμίνου ὀποῦ ʃ ι΄. κηροῦ ʃ λ΄. στέατος αἰγείου ʃ ιε΄. ἰρίνου μύρου ὑποστάθμης εἰς ἀνάληψιν ὅσον ἐξαρκεῖ. τὰ ξηρὰ κόπτεται καὶ σήθεται λεπτοτάτῳ κοσκίνῳ καὶ τὰ τηκτὰ κόπτεται καθ’ ἕκαστον φιλοπόνως, εἶθ’ ὁμοῦ πάντα μίγνυται καὶ πάλιν κόπτεται καὶ σήθεται λεπτοτάτῳ κοσκίνῳ παραπτομένου ἰρίνου ὑποστάθμῃ. εἶθ’ ὅταν καλῶς ἑνωθῇ, μαλάξαντες ἀποτιθέμεθα, ὁπότε δὲ βούλει καὶ ἀκόπῳ χρῆσθαι, λάμβανε τοῦ φαρμάκου γο γ′. στέατος χηνείου γο γ′. ἐλαίου κυπρίνου γο γ′. μίξας χρῶ. καὶ τούτου δ’ ἐφεξῆς οὕτως ἔγραψεν. ἄλλο πρὸς τὰς αὐτὰς διαθέσεις. ℥ πυρέθρου ʃ κ΄. κόκκου κνιδίου καὶ ἀφρονίτρου ἀνὰ ʃ κ΄. ἁλὸς ἀμμωνιακοῦ, ἀριστολοχίας Κρητικῆς λεπτῆς τοῦ φλοιοῦ, σικύου ἀγρίου ῥίζης, τερμινθίνης ἀνὰ ʃ κ΄. πεπέρεως στρογγύλου καὶ μακροῦ, ἀμμωνιακοῦ θυμιάματος, βδελλίου, ξυλοβαλσάμου, λιβάνου, σμύρνης, καρδαμώμου, ἀμώμου, στέατος αἰγείου, ῥητίνης ξηρᾶς ἀνὰ ʃ ι΄. κηροῦ ʃ λ΄. ἰξοῦ εἰργασμένου ʃ η΄.
13.345 συκαμίνου ὀποῦ ʃ η΄. ἰρίνου μύρου τῆς ὑποστάθμης εἰς ἀνάληψιν, οἴνου Ἰταλικοῦ ὅσον ἐξαρκεῖ, διαβρέξας ὅσα χρὴ διαλύειν, σκεύαζε κατὰ τρόπον. ἐν ἄλλῳ οὔτε τὸ ξυλοβάλσαμον οὔτε τὸ καρδάμωμον εὗρον οὔτε ἄμωμον. μετὰ τὰ γεγραμμένα γράψας ἕτερα φάρμακα, πάλιν ἐμνημόνευσε τῶν ἰσχιαδικῶν οὕτω γράψας. ἄλλο τοῦ αὐτοῦ ἐπίθεμα ἰσχιαδικοῖς, ἀρθριτικοῖς παραχρῆμα ὠφελεῖ. τῆλιν βαλὼν εἰς ἄγγος κεραμοῦν καὶ ταύτῃ ἐπιβαλὼν ὀξυκράτου ὅσον ἐξαρκεῖ, ἔψε θεὶς ἐπ’ ἀνθράκων μέχρι διαλύσεως. ὅταν δὲ διαλυθῇ, ἐπίβαλλε μέλιτος ὅσον ἐξαρκεῖ καὶ πάλιν ἔψε, εἶτα ἐξελὼν τρῖβε φιλοπόνως καὶ εἰς ὀθόνιον ἐπιπλάσας ἐπιτίθει κατὰ τῶν πονούντων τόπων καὶ ταινιδίῳ περιειλήσαντες ἐῶμεν καὶ τοῦτο πράττομεν ἐπὶ δύο καὶ τρεῖς ἡμέρας. ἐν

δὲ τῷ τρίβεσθαι, ὅταν σκληρανθῇ τὸ φάρμακον, ἐπιβάλλομεν τοῦ ὑγροῦ ὅσον ἐξαρκεῖ. τὸ δὲ ἐπιβαλλόμενον τοσοῦτον ἔστω ὥστε τὸ κατάπλασμα γενέσθαι ἀλκιμώτερον. ἄλλο τοῦ αὐτοῦ. τῶν προγεγραμμένων συνεχὲς ἔγραψε φάρμακον οὕτω. συμφύτου λίτραν α . ξύσας καὶ εἰς λεπτὰ τεμὼν καὶ βαλὼν εἰς θυΐαν ὀστρακίνην, φιλοπόνως τρῖβε, καὶ ὅταν
13.346 λειωθῇ, ἐπίβαλλε μάννης γο γ΄. καὶ ὠῶν τριῶν προσφάτων ὠμῶν τὸ λευκὸν σὺν ταῖς λεκίθοις καὶ πάλιν τρῖβε, καὶ ὅταν ἑνωθῇ, ἐπίβαλλε τούτοις στέατος ὑείου παλαιοῦ λίτραν μίαν, καὶ ἀνακύψας ἐπιμελῶς ἐμπλάσας εἰς ὀθόνιον ἐπιτίθει, παρηγορεῖ παραχρῆμα. μετὰ τὸ γεγραμμένον ἐφεξῆς ἕτερον ἔγραψεν οὕτως. ἄλλο τοῦ αὐτοῦ. μάλαγμα ἰσχιαδικοῖς ἐπὶ τῶν παροξυσμῶν εὐθὺς ἐπιτιθέμενον, διδυμαία λεγόμενον. ποιεῖ καὶ πρὸς τὰ συντρίμματα καὶ πρὸς πᾶσαν νευριτικὴν συμπάθειαν. ἔστι δὲ καὶ διαλυτικὸν πάσης σκληρίας. ποιεῖ καὶ πρὸς τὰς ἄλλας φλεγμονὰς, καθαίρει καὶ τὰς οὐλὰς τὰς πονηρὰς, ποιεῖ πρὸς τὰ στρέμματα καὶ λυγίσματα, ποιεῖ καὶ πρὸς τὰς τῶν μασθῶν διαθέσεις κακοήθεις. ⳨ κηροῦ, ἰξοῦ δρυΐνου, τερμινθίνης, ἴριδος ξηρᾶς, σμύρνης, χαλβάνης ἀνὰ ‹ μη΄. ἐλαίου κυπρίνου ἢ μύρου Αἰγυπτίου ὅσον ἐξαρκεῖ, τὴν χαλβάνην βαλόντες εἰς τὸ κύπρινον ἢ εἰς τὸ μύρον τὸ Αἰγύπτιον καὶ θέντες ἐπὶ τὸ πῦρ διαλύομεν καὶ τὸν κηρὸν μαλάσσομεν καὶ τοῖς λοιποῖς μίξαντες κόπτομεν φιλοπόνως καὶ τούτοις ἐμβαλόντες τακεῖσαν τὴν
13.347 χαλβάνην μετὰ τοῦ κυπρίνου πάλιν κόπτομεν, καὶ ποιήσαντες ἀφέστατον μάλαγμα ἀνελόμενοι χρώμεθα. ἐφεξῆς τῶν προγεγραμμένων καὶ τοῦτο ἔγραψεν ὁ Ἀσκληπιάδης. ἄλλο τοῦ αὐτοῦ ἐκ τοῦ Ἀρείου. ποιεῖ κωλικοῖς ἀφάτως, ἐν αὐτοῖς παροξυσμοῖς ἐπιτιθέμενον καὶ ψώρας θεραπεύσει χωρὶς ἑλκώσεως. κηροῦ, πίσσης ὑγρᾶς ἀνὰ λίτραν α . πίσσης ξηρᾶς λίτραν α . θείου ἀπύρου, στυπτηρίας σχιστῆς, νίτρου ἐρυθροῦ ἀνὰ λίτρας . τὰ τηκτὰ τῆκε, τὰ δὲ ξηρὰ κόπτε καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ, καὶ ὅταν τὰ τηκτὰ συστρέφηται, ἐπίβαλλε τὰ ξηρὰ κατ᾽ ὀλίγον ἐπιπάσσων καὶ κινῶν συνεχῶς καὶ εἰς θυΐαν κατεράσας καὶ ἀνακόψας ἀνελόμενος χρῶ. μετὰ τὸ προγεγραμμένον ἕτερον ἔγραψεν ὡδί πως.

Ἄλλο τοῦ αὐτοῦ μάλαγμα, τὸ διὰ τοῦ σιλφίου ἰσχιαδικοῖς σφόδρα γενναῖον. ⳨ Ἄμμεως ‹ ιβ΄. σιλφίου, πηγάνου ἀγρίου σπέρματος, δαφνίδων κεκαθαρμένων ἀνὰ ‹ ιδ΄. κολοκυνθίδος τοῦ ἐντὸς ‹ β΄. νίτρου

δραχμὰς δ′. ἀβροτόνου Θηβαϊκοῦ ‹ δ′. καρδαμώμου ‹ δ′. κηροῦ Ποντικοῦ
13.348 μνᾶς ὄγδοον, πίσσης, ῥητίνης, στέατος χηνείου, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ μνᾶς ὄγδοον, τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. ἐφεξῆς τῷ προγεγραμμένῳ καὶ τόδε γέγραπται ὑπὸ Ἀσκληπιάδου κατὰ λέξιν οὕτως.

Ἄλλο τοῦ αὐτοῦ ᾧ ἐχρήσατο Ἀντίπατρος. ℩ Σιλφίου, πηγάνου ἀγρίου ξηροῦ, δαφνίδων ξηρῶν, ἀφρονίτρου, κολοκυνθίδος τοῦ ἐντὸς, ἀβροτόνου Θηβαϊκοῦ, ἄμμεως, καρδαμώμου, ἑκάστου ‹ δ′. πηγάνου ἡμέρου χλωροῦ, πίσσης ξηρᾶς, ῥητίνης τερμινθίνης. ἀμμωνιακοῦ θυμιάματος, στέατος μοσχείου, ἑκάστου μνᾶς ὄγδοον, χαλβάνου ‹ ιστ′. ὀποπάνακος ‹ δ′. θείου ἀπύρου ‹ δ′. ἐλαίου κυπρίνου κοτύλας δ′. ἐν δὲ τῇ χρήσει πρότερον χρὴ κορίαννον ξηρὸν καύσαντα ἀναλαμβάνειν κυπρίνῳ καὶ οὕτως ἐπιχρίειν τὸ ἰσχίον καὶ μετὰ τὴν τούτου χρῆσιν ἐπιθεῖναι τὸ μάλαγμα. μετὰ τοῦτο δὲ πάλιν ἕτερον ἔγραψεν ὡδί πως.

Ἄλλο τοῦ αὐτοῦ μάλαγμα ἰσχιαδικὸν, μετασυγκριτικὸν, ἀπαλλάσσει τῆς ὅλης διαθέσεως. ποιεῖ καὶ παρέτοις καὶ τρομώδεσι καὶ ταῖς κεχρονισμέναις διαθέσεσιν. ℩ Πίσσης ὑγρᾶς Βρυτίας λίτρας γ′. τρυγὸς
13.349 ξηρᾶς κεκαυμένης λίτρας β′. νίτρου ἐρυθροῦ λίτραν α . ῥητίνης πιτυΐνης λίτραν α . κηροῦ λίτραν α . σταφίδος ἀγρίας λίτραν α . θείου ἀπύρου λίτραν α . πυρέθρου λίτρας . καρδαμώμου ξε. α . ἔψε πίσσαν, κηρὸν, ῥητίνην, τὰ δὲ ξηρὰ κόπτε καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ καὶ τοῖς τηκτοῖς ἀναλαβὼν χρῶ. μετὰ τὸ προγεγραμμένον ἕτερον φάρμακον ἔγραψεν ὡδί πως.

Ἄλλο τοῦ αὐτοῦ ᾧ ἐχρήσατο Φιλόκαλος. Νάπυος, τήλεως ἀληλεσμένης ἑκάστου ξε. . πυρέθρου, σταφίδος ἀγρίας, νίτρου ἐρυθροῦ ἀνὰ δ . ὀποπάνακος β . χαλβάνης β . ῥητίνης τερμινθίνης λίτραν α . κηροῦ λίτραν μίαν, ἐλαίου κυπρίνου λίτραν α . τὰ τηκτὰ κατὰ τῶν ξηρῶν.

Ἡ ὑπὸ Δαμοκράτους γεγραμμένη θεραπεία τῶν ἰσχιαδικῶν διὰ τῆς Ἰβηρίδος. ℩ Ἐπιγράφεται βιβλίον Δαμοκράτους κλίνικος, ἐν ᾧ διὰ μέτρων ἰαμβικῶν, ὡς εἴωθε, περὶ τῶν τριῶν διαλέγεται φαρμάκων, πρώτου μὲν τοῦ διὰ τῆς βοτάνης, ἣν καὶ αὐτὸς Ἰβηρίδα καλεῖ, τοῦ

δευτέρου δὲ τοῦ διὰ σπέρματος ἀνωδύνου, τρίτου δὲ τοῦ καθαρτικοῦ
13.350 καλουμένου ὑπ᾽ αὐτοῦ ἱερᾶς. περὶ πρώτης οὖν τῆς τῶν ἰσχιαδικῶν θεραπείας ἔγραψεν ἐν τῷ βιβλιδίῳ ταῦτα. ἐν Ἰβηρίδι, φησὶν, ἰατρόν τινα φίλον ἑαυτοῦ θεραπευθῆναι διὰ τῆς βοτάνης, ἣν, ὡς ἔφην, αὐτὸς ὁ Δαμοκράτης Ἰβηρίδα καλεῖ, μαθὼν μὲν αὐτοπτικῶς τὴν βοτάνην, ὄνομα δὲ οὐδὲν ἀκούσας αὐτῆς, ὅτι μηδ᾽ ὁ διδάσκων ἠπίστατο. δι᾽ ὧν δὲ γράφει γνωρισμάτων, ἔοικε τὴν ὑπὸ τῶν Ἑλλήνων ὀνομαζομένην λεπίδιον Ἰβηρίδα καλεῖν, ἀπὸ τῆς χώρας ἐν ᾗ θεραπευθεὶς ἔτυχεν ὁ φίλος αὐτοῦ. γράφει δὲ αὐτοῦ τὰ γνωρίσματα διὰ τῶν ἰάμβων.

Φύεται δὲ πολλὴ πανταχοῦ, μάλιστα δὲ
Παρὰ τοῖς παλαιοῖς μνήμασι, τοίχοισίν τε καὶ
Παρὰ ταῖς ὁδοῖσι ταῖς πάλαι τετριμμέναις,
Παρ᾽ αἷς γεωργὸς τὰ λήι᾽ οὔ ποτ᾽ ἤροσεν.
Ἀεὶ δὲ θάλλει, φύλλ᾽ ἔχουσα καρδάμου.
Ἔαρος μὲν εὐθαλῆ τε καὶ μείζω·
Καυλῷ δὲ αὐτῆς ὄντι μῆκος πήχεως,
Μικρῷ τ᾽ ἔλαττον καὶ πάλιν μικρῷ πλέον,
13.351 Θέρους περίκειται λεπτὰ φύλλα, μέχρι περ ἂν
Κρύους γενομένου, φρυγανώδη τἄλλα μὲν
Τὰ φύλλα ἀποβάλλει τε καὶ μαραίνεται,
Πρὸς τῇ δὲ ῥίζῃ προσπεφύκασίν τινα.
Φέρει δ᾽ ὁ καυλὸς ἐν θέρει λεπτὸν πάνυ
Πολύχροον ἄνθος, τῇ χρόᾳ γαλάκτινον,
Εἶτ᾽ ἐπακολουθεῖ παντελῶς τούτῳ βραχὺ
Σπέρματος, ἀκριβῶς αὐτὸ μηδ᾽ ὁρᾷν τινα.
Ἡ ῥίζα δὲ καὶ ὀσμὴν δριμυτάτην ἔχει,
Μάλιστα πάντων καρδάμῳ προσεμφερῆ.

Διὰ τούτων μὲν ἐδήλωσε τὴν ἰδέαν τῆς βοτάνης, ἐφεξῆς δὲ τὴν χρῆσιν αὐτῆς διὰ τῶνδε.

Ταύτην ὀρύξας καὶ λαβὼν πλῆθος πολὺ,
Θέρους μάλιστα δ᾽ ἐστὶ πρακτικωτάτη
Καὶ πρόσφατος. ξηρὰ γὰρ ἀδρανὴς τυγχάνει,
Κόψας δ᾽ ἐπιμελῶς, ἔστι γὰρ καὶ δύσκοπος,

Ἀξουγγίῳ λίπανον ὀλίγῳ παντελῶς,
Εἶτα ἐπιθεὶς κοτύλῃ τε καὶ παντὶ σκέλει,
13.352 Δήσας τ᾽ ἄφες ὥρας μὴ μένειν ἐλάττονας,
Γυναιξὶ μὲν δύ᾽, ἀνδράσιν δὲ τέτταρας.
Εἶτ᾽ εἰς βαλανεῖον ἐσάγων αὐτοὺς, μηθενὶ
Μήτε προαλείψας μήτε χρίσας σμήγματι.
Σμικρᾶς δὲ νοτίδος γενομένης, εἰς τὴν μακρὰν
Καθεὶς, κράτησον, ἐπιφέρει γὰρ πολλάκις
Δηγμὸν φέροντ᾽ αἴσθησιν ἔνθερμόν τινα.
Μικρὸν δ᾽ ἀποβρέξας ἔξαγ᾽ αὐτοὺς ἔξωθεν,
Κᾆν ὦσι πολλῶν χερσὶν εἰσκεκομισμένοι,
Ἰδίοις ἕκαστος ἐξελεύσεται ποσί.
Μίξας δ᾽ ἐλαίῳ δαψιλεῖ βραχὺν πάνυ
Οἶνον ἀνάκοπτε καὶ συνάλειφ᾽ αὐτοὺς ὅλους.
Ἄρας τ᾽ ὀθονίοις, ἰκμάδα καὶ ἅπαν λίπος,
Σκέπασον τὸ κῶλον κουφοτάτοις ἐριδίοις.
Τἄλλα τε κέλευε πάντα πράττειν ὅσα θέλοις
Ἐν τοῖς συνήθεσιν ὄντα καὶ τοῖς ἡδέσι.
Τὸ γὰρ βοήθημ᾽ αὐτοτελὲς ὂν τυγχάνει,
Οὐ χρῄζον ἄλλου συμβάλλεσθ᾽ αὐτῷ τινος,
13.353 Κᾆν μὲν δίχα πόνου διαμένωσιν, ὃ γίνεται
Τὰ πολλὰ, χαίρων προσκύνει τὸ ῥιζίον.
Ἂν δὲ καταλειφθῇ τοῦ πάθους ἴχνος ἔτι,
Ἅπαν ἐπαλείψεις αὐτὸ χρίσει δευτέρᾳ,
Μέσας διαλιπὼν ἡμέρας ὡς εἴκοσι.

Τούτῳ τῷ τρόπῳ τῆς χρήσεως καὶ κεφαλαλγίας χρονίας καὶ ἄλλα πάντα καθ᾽ ὅ τι ἂν ᾖ μέρος ἀλγήματα χρόνια καὶ δυσλύτους διαθέσεις καὶ παραλύσεις τεθεραπευκέναι φησί. καὶ ὅλως ἐφ᾽ ὧν οἱ ἄλλοι χρῶνται τῷ καλουμένῳ σιναπισμῷ καὶ τῷ διὰ θαψίας βοηθήματι, διὰ τῆς βοτάνης ταύτης ἐξιᾶσθαί φησι. περὶ τῆς Ἰβηρίδος ταύτης καὶ ὁ Ἀρχιγένης λέγει, ὀνομάζων αὐτὴν λεπίδιον ἐν τῷ β′. τῶν κατὰ γένος φαρμάκων, ἁρμόζειν δὲ αὐτὴν σπληνικοῖς καὶ ἰσχιαδικοῖς λέγει. πρὸς ἰσχιάδας καὶ ψυγμοὺς Ὑγιεινοῦ Ἱππάρχου· βοτάνην Ἰβηρίδα, ἥν τινες καλοῦσι λεπίδιον ἢ

ἀγριοκάρδαμον, ἀνελόμενος τὴν ῥίζαν αὐτῆς κόψον καὶ στέατι χοιρείῳ συμμαλάξας εἰς τρόπον ἐμπλάσματος ἐπιτίθει κατὰ τοῦ ἀλγοῦντος τόπου
13.354 ἐπὶ ὥρας τρεῖς, εἶτα πέμπε εἰς βαλανεῖον. τὸ αὐτὸ ἀπαλλάττει καὶ παλαιὰς κεφαλαλγίας ἐν ὁμοίᾳ χρήσει, ἣν Δαμοκράτης ὁ ἰατρὸς διὰ στίχων ἔγραψεν.

Περὶ τῶν ποδαγρικῶν καὶ ἀρθριτικῶν παθῶν. Εἴρηται πρόσθεν ἐν τῷ περὶ τῆς ἰσχιάδος λόγῳ, ῥευμάτων ἔκγονα τὰ τοιαῦτα ὑπάρχειν πάθη, κατασκηπτόντων εἰς τὰς χώρας τῶν διαρθρώσεων, ὥστε καὶ τὴν θεραπείαν αὐτῶν ἑνὸς ἔχεσθαι τρόπου, τοῦ κενῶσαι τὸ κατασκῆψαν. ἔτι μὲν οὖν ἐπιρρέοντος αὐτοῦ, τῷ κοινῷ τῶν ἐπιρρεόντων χυμῶν λόγῳ τὸν σκοπὸν τῶν βοηθημάτων ὑποβάλλειν χρὴ ἀποκρουομένους καὶ ἀναστέλλοντας. ἐπειδὰν δὲ μηκέτι ἐπιρρέῃ, διαφοροῦντας τὸ κατασκῆψαν. ἡ δὲ ὕλη τῶν φαρμάκων δι᾽ ὧν ταῦτα γίνεται πολυειδής ἐστιν, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων παθῶν, νοησάντων μὲν ἐξ ἀρχῆς τῶν συνετωτέρων κατά τινα τεχνικὸν στοχασμὸν, ἄλλοτ᾽ ἄλλου τῇ πείρᾳ καὶ τῶν ἀρίστων κεκριμένων. διὸ κἀγὼ καθάπερ ἐπὶ τῶν ἄλλων παθῶν, οὕτω κἀπὶ τούτων τῶν πεπειραμένων τοῖς πρὸ ἐμοῦ γράψω τὰ κάλλιστα.

13.355 Τὰ ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένα πρὸς τὰ εἰρημένα πάθη ἐν τῷ τετάρτῳ τῶν ἐκτὸς, ἃ Μαρκέλλας ἐπιγράφει. Ἐπίθεμα ποδαγρικοῖς, ἀρθριτικοῖς ἀνώδυνον, ἡ χρῆσις ἐν αὐτοῖς τοῖς παροξυσμοῖς. ⪡ ὀποῦ μήκωνος ‹ δ′. κρόκου ‹ α′. λεάνας μετὰ γάλακτος βοείου ἢ αἰγείου καὶ ἄρτου τὸ ἐντὸς ἐπιβαλὼν τρῖβε φιλοπόνως, ὥστε εὐαφὲς εἶναι κατάπλασμα καὶ μαλάξας παράπτου ῥοδίνῳ καὶ χρῶ καταπλάσματι προσηνεῖ, ἔξωθεν ἐπιβαλὼν φυλακῆς χάριν φύλλα σεύτλου ἢ θρίδακος. ἔστι δ᾽ ὅτε τὸ ὄπιον καὶ τὸν κρόκον μετὰ γάλακτος λεάναντες, ἀναλαμβάνομεν κηρωτῇ σκευασθείσῃ διὰ ῥοδίνου, ἔπειτα ἐμπλάσαντες εἰς ὀθόνιον ἐπιτιθέμεθα. ἄλλο. ⪡ στύρακος ‹ β′. ὀπίου ‹ α′. σκεύαζε καὶ χρῶ καθὰ προείρηται. ἄλλο. παραχρῆμα τὸν πόνον ἀπαλλάττει. δεῖ δὲ πρὸ τῆς ἐπιθέσεως τοῦ φαρμάκου τὸν πάσχοντα λούειν καὶ τότε περισμήξαντα τοὺς τόπους ἐπιτιθέναι. ⪡ ἀψινθίου Ποντικοῦ χυλοῦ, κρόκου, ὀπίου ἀνὰ ‹ α′. κηροῦ Ποντικοῦ ‹ δ′. ἰρίνου μύρου ‹ στ′. γλυκέος Κρητικοῦ ὅσον ἐξαρκεῖ, διάλυε
13.356 ὄπιον, ἀψίνθιον, κρόκον, καὶ ὅταν διαλυθῇ, ἀναλάμβανε τοῖς τηκτοῖς καὶ

εἰς ὀθόνιον ἑλκύσας ἐπιτίθει. ἄλλο. ℩ κωνείου σπέρματος ἐκλελεπισμένου ‹ στ΄. κρόκου ‹ α΄. ὀπίου ‹ α΄. γλυκέος Κρητικοῦ ὅσον ἐξαρκεῖ, καὶ λεάνας ἀναλάμβανε κηρωτῇ σκευασθείσῃ διὰ ῥοδίνου.

Ἐπίθεμα ποδαγρικῶν, ἀρθριτικῶν, ποιεῖ πρὸς τὰς μεγίστας διαθέσεις, ᾧ ἐχρήσατο Ἐρασίστρατος ὁ Σικυώνιος. Καππάρεως ῥίζης κεκομμένης καὶ σεσησμένης χοῖνιξ εἷς, ὑοσκυάμου σπέρματος χοίνικος . χαμαιλέοντος μέλανος ῥίζης χοίνικος τέταρτον, κωνείου σπέρματος χοίνικος δ . μανδραγόρου ῥίζης χοῖνιξ α . στρύχνου, οἱ δὲ δορυκνίου ῥίζης χοίνικος τέταρτον. ἅπαντα μίξας κεκομμένα καὶ σεσησμένα ἀπόθου εἰς ἄγγος κεραμεοῦν καὶ φιμώσας ἐπιμελῶς φύλαττε. ἐν δὲ τῇ χρήσει λαβὼν χοίνικος τέταρτον καὶ γλυκεῖ λεάνας καὶ βαλὼν εἰς ἄγγος κεραμεοῦν ἀκονίατον, ἐπίβαλλε τρυγὸς ξηρᾶς κοτύλης τέταρτον καὶ θεὶς ἐπ᾽ ἄνθρακας, ἕψε κινῶν ἐπιμελῶς, ἕως δὶς ἢ τρὶς ἀναζέσῃ, εἶτα ἄρας ἀπὸ τοῦ πυρὸς κατάπλαττε θερμότατον ἢ ὡς δύναται φέρειν. δεῖ δὲ πρὸ τοῦ
13.357 καταπλάσματος τοὺς πόδας καταιονῆσαι πολλῷ ὕδατι ψυχρῷ καὶ περισπογγίσαντας χρῆσθαι τῷ φαρμάκῳ. ἔπειτα δὲ τὸ κατάπλασμα δι᾽ ὀθονίων λεπτοτάτων εἰς ὄξος ἐμβάπτοντας ἐπιτιθέναι, καὶ ταινιδίῳ ἐπικαταλαβόντας, ἐᾷν ἐπικείμενον τὸ φάρμακον ἐπὶ ὥρας δύο, καὶ μετὰ ταῦτα αἴροντας τὸ ἐπικείμενον, τὰς ἐπαναστάσας φλυκτίδας βελόναις δεῖ κεντεῖν. ἀπὸ τούτων γὰρ ὑγρὸν ἀπορρεῖ μυξῶδες καὶ πολὺ καὶ κολλῶδες. μετὰ δὲ τὴν τῶν τοιούτων ὑγρῶν ἔκκρισιν χρὴ πολλῷ ὕδατι ψυχρῷ τοὺς πόδας καταντλεῖν καὶ πάλιν χρῆσθαι τῇ ἐπιθέσει τοῦ φαρμάκου, καθὰ προείρηται, ἀντὶ τοῦ ὄξους χρωμένους ὕδατι ποτίμῳ καὶ τὸ ἐπιτιθέμενον ὀθόνιον ὕδατι ψυχρῷ βρέξαντας.

Ἄλλο τοῦ αὐτοῦ. τούτῳ ἀντὶ σικύων καὶ βδελλῶν χρώμεθα, ὥστε ἐκμυζῆσαι ἰχῶρας αἱματώδεις, ποιεῖ καὶ πρὸς πώρους καὶ πρὸς σκίρρους, ὥστε διαλῦσαι. ℩ Τήλεως ἀληλεσμένης ξε. α ′. λίθου Ἀσίου τοῦ ἄνθους ξε. α ′. ἀλεύρου ἐρεγμίνου τοῦ μέλανος συναληλεσμένου, ἀλεύρου
13.358 θερμίνου ἀνὰ ξέστην ἕνα, πάντα μίξας καὶ ὕδατι θερμῷ φυράσας ἐπιτίθει θερμῷ καὶ ταινιδίῳ καταλάμβανε δεῖ δὲ πρότερον καταντλῆσαι τοὺς πάσχοντας τόπους ἢ καὶ τούτους λούοντας ἐμβιβάζειν. ἤδη δὲ τῶν ἐπικειμένων ἐπιδέσμων ἡμαγμένων καὶ διαβρόχων γιγνομένων, αἴρομεν

τὸ φάρμακον, καὶ τοὺς τόπους ἀποπυριάσαντες χρώμεθα τῷ διὰ πικρῶν ἀμυγδάλων καὶ μαλάγματι ἔχοντι κρόκον καὶ ἶριν καὶ ἀριστολοχίαν. τοῦτο δ᾽ ἀναγέγραπται ἐν τοῖς ἀναγεγραμμένοις πρὸς ποδάγραν μαλάγμασιν.

Τροχίσκος ποδαγρικοῖς, ἀρθριτικοῖς. ἡ χρῆσις ἐν αὐτοῖς τοῖς παροξυσμοῖς. ℞ ἀλόης λίτραν α′. κενταυρείου χυλοῦ γο στ′. λιβάνου ἀτόμου γο δ′. σμύρνης γο δ′. λίθου Ἀσίου τοῦ ἄνθους γο β′. ὀπίου γο β′. μανδραγόρου χυλοῦ γο β′. στυπτηρίας σχιστῆς γο β′. ἀναλάμβανε γλυκεῖ καὶ ποίει τροχίσκους. ἐν δὲ τῇ χρήσει ἐν γάλακτι διαλύων ἐπίχριε πτεροῖς καὶ κατὰ τοῦ χρίσματος ἐπίβαλλε ὀθόνιον γλυκεῖ δεδευμένον. ἄλλος, ὁ Ζεὺς ἐπικαλούμενος. ℞ ἀλόης ⸌ιβ′. ὀπίου ⸌η′. μηκωνείου χυλοῦ ⸌στ′. ὑοσκυάμου χυλοῦ ⸌στ′. ἀκονίτου ⸌δ′. ὑποκυστίδος ⸌στ′. γλαύκου ⸌η′.
13.359 κρόκου ⸌ιβ′. κόμμεως ⸌κδ′. μήλων μανδραγόρου ⸌κ′. ὄξους κοτύλας δύο. ἕψε μῆλα μετ᾽ ὄξους, καὶ ὅταν ἐκθλίψῃς, ἐπίβαλλε τοῖς προειρημένοις, καὶ διυλίσας καὶ λεάνας ἐπιμελῶς, ἀνάπλαττε τροχίσκους καὶ ξήραινε ἐν σκιᾷ. ἡ χρῆσις δεδήλωται.

Μάλαγμα ἀρθριτικοῖς, ποδαγρικοῖς, τὸ διὰ κωνείου καὶ ἀγαρικοῦ, φάρμακον ἐπιτετευγμένον. Κωνείου σπέρματος ξέστην α . ἀγαρικοῦ ξέστην α . τήλεως ξέστην α . νίτρου γο α . κηροῦ λίτραν μίαν, ῥητίνης φρυκτῆς λίτραν α . ἐλαίου παλαιοῦ λίτραν α . μυελοῦ ἐλαφείου γο δ . Ἰλλυρικῆς γο τέτταρας. τὰ ξηρὰ κόπτε καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ, τὰ δὲ τηκτὰ τῆκε, εἶτα ἐάσας ψυγῆναι καὶ ἀναξύσας ἐπίβαλλε τοῖς ξηροῖς καὶ ἀνακόψας ἀνελόμενος χρῶ. τοῦ αὐτοῦ ἄλλο. κηροῦ λίτραν α . ἐλαίου παλαιοῦ ἢ Σαβίνου ξέστην α . τήλεως ξέστην α . κωνείου ξε. . ῥητίνης φρυκτῆς λίτραν α . νίτρου ἐρυθροῦ γο. ἐννέα, λίθου Ἀσίον ἄνθους γο στ . μυελοῦ ἐλαφείου γο β . Ἰλλυρικῆς γο δ . σκεύαζε καθὰ προείρηται.

13.360 Τοῦ αὐτοῦ ἄλλο μάλαγμα τὸ διὰ τῶν δᾳδίων, Τίτου Καίσαρος, ποδαγρικοῖς, ἀρθριτικοῖς, καὶ πᾶσαν σκληρίαν μαλάττει. Ἰξοῦ δρυΐνου λίτραν α . λιβάνου λίτραν α . κηροῦ λίτραν α . δᾳδίων λιπαρῶν λίτραν α . πιτυΐνης λίτραν α . ἕψε τὰ τηκτὰ κινῶν δᾳδίοις λιπαροῖς· καὶ ὅταν ἀπορρεύσῃ πᾶν τούτων τὸ λίπασμα, καθελὼν ἀπὸ τοῦ πυρὸς, ὕλιζε

τὸ ὑγρὸν καὶ τούτῳ βάλλε τὸν λίβανον λειότατον, κινῶν συνεχῶς ἕως ἀμολύντου, καὶ εἰς θυείαν ἐξεράσας ἀνελόμενος χρῶ. ἄλλο. δᾳδίων λιπαρωτάτων λίτραν α . λιβάνου ἄρρενος λίτραν α . ῥητίνης πιτυΐνης λίτραν α . ἰξοῦ δρυΐνου λίτρας . σκεύαζε καθὰ προείρηται.

Μάλαγμα τὸ διὰ τοῦ Ἀσίου, ποδαγρικοῖς, ἀρθριτικοῖς σφόδρα γενναῖον, ἀπαλλάττει τῆς ὅλης διαθέσεως, ἡ χρῆσις ἐν διαλείμματι. Ἰξοῦ δρυΐνου, τερμινθίνης ἀνὰ λίτραν α . ἀφρονίτρου, λίθου Ἀσίου τοῦ ἄνθους, λιβάνου ἀνὰ λίτρας . ἐλαίου κυπρίνου λίτραν α . στέατος
13.361 ὅσον ἐξαρκεῖ. τὰ ξηρὰ κόπτεται καὶ σήθεται καὶ μετὰ τοῦ ὕδατος τρίβεται, ὥστε κηρωτῆς ὑγρᾶς ἔχειν τὸ πάχος. τὰ δὲ τηκτὰ τήκεται καὶ τοῖς λεανθεῖσιν ἐπιβάλλεται καὶ ἀνακόψαντες ἀνελόμενοι χρώμεθα. ἄλλο. ⁋ ἰξοῦ λίτραν μίαν, τερμινθίνης λίτραν μίαν, λίθου Ἀσίου, νίτρου ἀνὰ γο δ′. μάννης γο γ′. κυπρίνου γο β′. ὕδατος πηλοποιητικοῦ τὸ αὔταρκες.

Ἄλλο τὸ ἀρθριτικὸν σφόδρα γενναῖον, παραχρῆμα ὠφελεῖ ἀναπίνων καὶ τὰς ἐν βάθει ὑγρασίας. ⁋ Ἰξοῦ λίτραν α′. τερμινθίνης λίτραν α′. στέατος ταυρείου, λίθου Ἀσίου τοῦ ἄνθους ἀνὰ γο γ′. ἀσβέστου γο γ′. μάννης γο γ′. κυπρίνου λίτραν α′. σκεύαζε καθὰ προείρηται. ἄλλο Διοδώρου. ⁋ ἀσβέστου ‹ α′. λιβάνου, τερμινθίνης, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ ‹ δ′. στέατος ταυρείου ‹ η′. ἀφρονίτρου ‹ δ′. λίθου Ἀσίου τοῦ ἄνθους ‹ β′. ἐν ἄλλῳ ‹ δ′. ἐλαίου κυάθους β′. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. τὸ φάρμακον σφόδρα καλόν ἐστιν, ἀναπίνει καὶ τὰς περὶ πάντα τὰ ἄρθρα συνισταμένας συλλογὰς καὶ ἀπαλλάττει τῶν πόνων.

https://eulogikon.org/works/galen-pergamon-drugs-by-places-book-10-qmm-gx · eul_wid qmm-gx · Diogenes Lab reading page a7355ec59dfd